[illegible]· ἄρα δὴ ἡ ΕΘ τῆς ΘΚ μεῖζον δυνάσθω
τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει· καὶ ἀσύμμετρός ἐστιν
ἑκατέρα τῶν ΕΘ, ΘΚ τῇ ΕΖ μήκει· ἡ ἄρα ΕΚ
ἐκ δύο ὀνομάτων ἐστὶν ἕκτη· ἐὰν δὲ χωρίον περι-
δ(ιὰ) τ(ὸ) νθ' έχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων ἕκτης,
ἡ τὸ χωρίον δυναμένη δύο μέσα δυναμένη ἐστίν·
ὥστε καὶ ἡ τὸ ΑΔ χωρίον δυναμένη, δύο μέσα δυναμένη ἐστίν·
μένη ἐστίν· ὁμοίως δὴ δείξομεν ὅτι κἂν ἔλαττον ᾖ
τὸ ΑΒ τοῦ ΓΔ, ἡ τὸ ΑΔ χωρίον δυναμένη, ἡ ἐκ δύο μέ-
σων δευτέρα ἐστίν, ἢ ῥητὸν καὶ μέσον δυναμένη· δύο
ἄρα μέσων ἀσυμμέτρων ἀλλήλοις συντιθεμένων, αἱ
λοιπαὶ δύο
ἄλογοι γίγνον-
ται ἤτοι ἐκ δύο
μέσων δευτέ-
ρα ἢ δύο μέσα
δυναμένη:—



Ἡ ἐκ δύο ὀνομάτων καὶ αἱ μετ' αὐτὴν ἄλογοι, οὔτε τῇ μέσῃ
δ(ιὰ) τ(ὸ) κβ' τ(οῦ) ι' οὔτε ἀλλήλαις εἰσὶν αἱ αὐταί· τὸ μὲν γὰρ ἀπὸ μέσης
παρὰ ῥητὴν παραβαλλόμενον, πλάτος ποιεῖ ῥη-
τὴν καὶ ἀσύμμετρον τῇ παρ' ἣν παράκειται μήκει·
δ(ιὰ) τ(ὸ) ξ' τὸ δὲ ἀπὸ τῆς ἐκ δύο ὀνομάτων παρὰ ῥητὴν πα-
ραβαλλόμενον, πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομά-
δ(ιὰ) τ(ὸ) ξα' των πρώτην· τὸ δὲ ἀπὸ τῆς ἐκ δύο μέσων πρώ-
της παρὰ ῥητὴν παραβαλλόμενον, πλάτος ποι-
δ(ιὰ) τ(ὸ) ξβ' εῖ τὴν ἐκ δύο ὀνομάτων δευτέραν· τὸ δὲ ἀπὸ τῆς

ἐκ δύο μέσων δευτέρας παρὰ ῥητὴν παραβαλλόμενον,
πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων τρίτην· τὸ δὲ δ(ιὰ) τ(ὸ) ξγ'
ἀπὸ τῆς μείζονος παρὰ ῥητὴν παραβαλλόμενον,
πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων τετάρτην· τὸ δὲ δ(ιὰ) τ(ὸ) ξδ'
ἀπὸ τῆς ῥητὸν καὶ μέσον δυναμένης παρὰ ῥητὴν
παραβαλλόμενον, πλάτος ποιεῖ τὴν ἐκ δύο ὀνομά-
των πέμπτην· τὸ δὲ ἀπὸ τῆς δύο μέσα δυναμένης δ(ιὰ) τ(ὸ) ξε'
παρὰ ῥητὴν παραβαλλόμενον, πλάτος ποιεῖ τὴν
ἐκ δύο ὀνομάτων ἕκτην· ἕκαστον τὰ εἰρημένα πλά-
τη διαφέρει τοῦ τε πρώτου καὶ ἀλλήλων· τοῦ μὲν
πρώτου, ὅτι ῥητή ἐστιν· ἀλλήλων δέ, ὅτι τῇ τάξει
οὐκ εἰσὶν αἱ αὐταί· δῆλον ὡς καὶ αὐταὶ αἱ ἄλογοι δια-
φέρουσιν ἀλλήλων:—

…… +

[illegible]

[illegible]

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo